**δακτυλικὴ βάσις**

Hermog. *de id.* I 1 (p. 219. 11 sqq. Rabe) τῆς δ᾽ αὖ λέξεως σχήματα μὲν τὰ κατ᾽ ὀρθότητα ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ χωρὶς ἐπεμβολῆς, κῶλα δὲ τὰ ὀλίγῳ τῶν κομματικῶν μείζονα ἢ καὶ τὰ κομματικὰ αὐτά, συνθήκη δὲ κατὰ μὲν τὰ τοῦ λόγου μέρη μᾶλλον ἡ ἀνειμένη διὰ τὴν τοιαύτην λέξιν, οὐ μὴν ἥ γε διεστηκυῖα πάντῃ — δεῖ γάρ τι καὶ κατὰ τὸν ῥυθμὸν ἔχειν τὴν γλυκύτητα ἡδονῆς —, κατὰ δὲ τὰς βάσεις ὅση δακτυλική τε καὶ ἀναπαιστική.

Syrian. in Hermog. *de id.* I 1 (p. 18. 3 sqq. Rabe) ʽκατὰ δὲ τὰς βάσεις ἡ δακτυλική᾽. βάσις καλεῖται ἡ κατάληξις τῶν κώλων, μεταφορικὴ δέ ἐστιν ἡ λέξις ἀπὸ τῶν χορευτῶν· τὴν γὰρ ἐν χοροῖς βάσιν καὶ ὁρίζονται οὕτως οἱ μουσικοὶ ʽβάσις ἐστὶν ἄρσεως καὶ θέσεως ποδῶν σημείωσις· ἄρσις δέ ἐστι μέρος ποδὸς τὴν ὁρμὴν ἄνω λαμβάνον, θέσις δέ ἐστι μέρος ποδὸς τὴν ὁρμὴν κάτω λαμβάνον᾽.

Schol. rec. in Aristoph. *nub.* 457b. 1 sqq. (p. 74 Koster) Tr[2] λῆμα μὲν πάρεστι τῷδε] ἐπέκθεσις τῆς διπλῆς ἑτέρα ἀμοιβαία ἐκ κώλων κ´ ... τὸ ιθ´, ὃ παρατέλευτον ὀνομάζεται, δακτυλικὴ βάσις.

Schol. in Aristoph. *av.* 249 (p. 216a. 19 sqq. Dübner) ἀτταγᾶς] ὁ ἀτταγᾶς ὁ ἔχων τὸν λειμῶνα τοῦ Μαραθῶνος. τὰ γὰρ λιμνώδη καὶ ἕλεια χωρία καταβόσκεται ὁ ἀτταγᾶς. [ἡ τρίτη στροφὴ κώλων ὀκτὼ δακτυλικῶν τετραμέτρων, πλὴν τοῦ ζ´· τοῦτο γὰρ δακτυλικὴ βάσις].

Schol. A in Hephaest. 125. 8 sqq. τοῦ ἡρωικοῦ ὀνομασίαι εἰσὶ πέντε· δακτυλικὸν ἀπὸ τοῦ ποδὸς τοῦ ἁρμόζοντος αὐτῷ· δάκτυλος δὲ ἀπὸ ἡμετέρου μέρους εἴρηται ὥσπερ καὶ ποὺς καὶ βάσις. [*S.D.B.*]